UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Universitätsbibliothek Paderborn

## Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

VIII. Quòd, sicut in Actis Apostolorum dicitur, ex variis gentibus convenerunt.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

ἐπίσκοπος τῇ συνόδῳ παρῆν. οὐδὲ Σκύθης ἀπελιμπάνετο τῆς χορείας. Πόντος τε καὶ Γαλατία καὶ Παμφυλία, Καππαδοκία τε καὶ Ἀσία καὶ Φρυγία, τοὺς παρ' αὐταῖς παρεῖχον ἐκκρίτους. ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες, Ἀχαιοί τε καὶ Ἠπειρῶται, τούτων θ' οἱ ἐπὶ πορρωτάτω οἰκοῦντες, ἀπήντων· αὐτῶν τε Σπανῶν ὁ πάνυ βοώμενος, εἷς ἦν τοῖς πολλοῖς ἅμα συνεδρεύων· τῆς γε βασιλευούσης πόλεως, ὁ μὲν προεστὼς ὑστέρει διὰ γῆρας. πρεσβύτεροι δ' αὐτοῦ παρόντες τὴν αὐτοῦ τάξιν ἐπλήρουν. τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰρήνης, τῷ αὐτοῦ σωτῆρι τῆς κατ' ἐχθρῶν καὶ πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον. εἰκόνα χορείας Ἀποστολικῆς ταύτην καθ' ἡμᾶς συστησάμενος.

A nec vel Scytha abfuit ab hoc choro. Pontus item, Galatia, Pamphylia & Cappadocia, Asia quoque & Phrygia lectissimum quemque ex suis præbuere. Thraces quinetiam, Macedones, Achivi & Epirotæ, & qui longissimo intervallo ultra hos positi sunt, nihilo minus adfuere. Ab ipsa quoque Hispania vir ille multo omnium sermone celebratus, una cum reliquis aliis consedit. Aberat quidem regiæ urbis Antistes ob senilem ætatem: sed præsto erant Presbyteri qui vices ejus implerent. B Hujusmodi coronam pacis vinculo consertam & connexam, solus ab omni ævo Imperator Constantinus velut divinum grati animi monumentum pro victoriis quas de hostibus & inimicis retulerat, Christo Servatori suo dedicavit: hoc amplissimo cœtu, tanquam imagine quadam Apostolici chori, nostris temporibus convocato.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅτι ὡς ἐν ταῖς πράξεσι τῶν Ἀποστόλων, ἐκ διαφόρων συνῆλθον ἐθνῶν.

Ἐπεὶ καὶ κατ' ἐκείνους συνῆχθαι λόγος ὑπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἄνδρας εὐλαβεῖς. ἐν οἷς ἐτύγχανον Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, οἵ τ' ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες· πλὴν ὅσον ἐκείνοις ὑστέρει, τὸ μὴ ἐκ Θεοῦ λειτουργῶν συνεστάναι τοὺς πάντας· ἐπὶ δὲ τῆς παρούσης χορείας, Ἐπισκόπων μὲν πλῆθος ἦν, πεντήκοντα καὶ διακοσίων ἀριθμὸν ὑπεραχοντίζουσα. ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων, ἀκολούθων τε πλείστων ὅσων ἑτέρων, οὐδ' ἦν ἀριθμὸς εἰς κατάληψιν.

## Caput VIII.

*Quod sicut in Actis Apostolorum dicitur, ex variis gentibus convenerunt.*

C Siquidem & Apostolorum temporibus viri religiosi ex omni natione quæ sub cælo est, in unum convenisse dicuntur. Inter quos erant Parthi, Medi, Elamitæ, & qui habitant Mesopotamiam, Judæam, & Cappadociam, Pontum, Asiam & Phrygiam ac Pamphyliam, Ægyptum & partes Libyæ quæ est juxta Cyrenem: advenæ quoque Romani, Judæi & Proselyti, Cretenses & Arabes. Verùm apud istos quidem hoc minus fuit, quòd non omnes erant Dei ministri qui convenerant. In præsenti autem choro Episcopi quidē supra ducentos & quinquaginta adfuerunt. Presbyterorum verò qui eos comitati D sunt, Diaconorum, Acoluthorum aliorumque complurium numerus iniri vix potest.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ ἀρετῆς καὶ ἡλικίας τῶν διακοσίων πεντήκοντα Ἐπισκόπων.

Τῶν δὲ τοῦ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ. οἱ δέ, βίου στερρότητι καὶ καρτερίας ὑπομονῇ. οἱ δέ, τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. ἦσαν δὲ τούτων, οἱ μὲν χρόνου μήκει τετιμημένοι. οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες. οἱ δ' ἄρτι παρελθόντες ἐπὶ

## Caput IX.

*De virtute & ætate ducentorum quinquaginta Episcoporum.*

Porrò ex his Dei ministris, alii sermone sapientiæ, alii gravitate vitæ & laborum tolerantia eminebant: alii modestia & comitate morum erant ornati. Ac nonnulli quidem eorum ob provectam ætatem maximo in honore erant: nonnulli & corporis & animi juvenili vigore enitebant. Quidam nuper ad-